+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΝΕΟΜΑΡΤΥΡΑ ΑΓΙΟΝ ΜΙΧΑΗΛ ΠΑΚΝΑΝΑΝ, ΤΟΝ ΑΘΗΝΑΙΟΝ & ΚΗΠΟΥΡΟΝ

(οὗ ἡ μνήμη τῇ 30ῇ Ἰουνίου-9ῃ Ἰουλίου)

Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵βιη΄ * 2018 *

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΝΕΟΜΑΡΤΥΡΑ ΑΓΙΟΝ ΜΙΧΑΗΛ ΠΑΚΝΑΝΑΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

Ἦχος δ'. Ὁ ὑψωθείς.

Καλλιεργήσας τῆς ψυχῆς σου τὸν κῆπον,
τῇ ἐπομβρίᾳ Μιχαὴλ Παρακλήτου,
γενναίως ὡμολόγησας θεότητα Χριστοῦ,
καὶ κατεμυκτήρισας,
τὴν ἀπάτην τῆς Ἄγαρ,
ὅθεν ἀποτέτμησαι
τὴν ἁγίαν σου κάραν,
καὶ κληρονόμος γέγονας εὐθύς,
τοῦ Παραδείσου, τοῦ κήπου μακάριε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
*«Φρόνημα μαρτυρικόν, Μιχαήλ, ἡμῖν δίδου. Ἀ(θανάσιος)».*

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.

Φυλάξας τὴν πίστιν σου Μιχαήλ, τὴν κάραν ἐτμήθης, καὶ εἰσῆλθες στεφηφορῶν, εἰς κῆπον τοῦ θείου Παραδείσου, ἔνθα Χριστὸν καθορῶν ἡμῶν μνήσθητι.

Ῥεόντων παρεῖδες τὰς ἡδονάς, ποθῶν ἀπεράντως, ἑνωθῆναι τῷ Ἰησοῦ, παρ' Ὧι νῦν ἱστάμενος δυσώπει, ὑπὲρ ἡμῶν Μιχαὴλ μάρτυς ἔνδοξε.

Οὐδόλως πεφόβησαι Μιχαήλ, βασάνους ἀπίστων, ἀλλ' ἐχώρησας εὐσθενῶς, πρὸς ταύτας ἡμᾶς ἀεὶ διδάσκων, ὁμολογεῖν ὀρθοδόξως τὸν Κύριον.

Θεοτοκίον

Ναοὺς ἡμᾶς δεῖξον τοῦ σοῦ Υἱοῦ, Πανάμωμε Κόρη, ἱκεσίαις σου μητρικαῖς, σεπταῖς ἀρεταῖς κεκοσμημένους, καὶ ἀενάου εὐχῆς ἐργαστήρια.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἡ ψυχῆς σου ἁπλότης, καὶ ἡ στεῤῥὰ ἔνστασις, σύνδρομοι ἐφάνησαν Μάρτυς, πρὸς τὴν σὴν ἄθλησιν, καὶ σὲ ἐνίσχυσαν, μὴ φοβηθῆναι τὸ ξίφος, δι' οὗ στέφος εἴληφας, τὸ ἀμαράντινον.

Μιχαὴλ ἀθλοφόρε, νεανικῶς ἅπαντα, τὰ παρόντα χοῦν ἐλογίσω, διὰ τὸν Κύριον· ὅθεν ἀξίωσον, τοὺς ἄθλησίν σου τιμῶντας, στρέφειν πρὸς οὐράνια, τὸν νοῦν ἀείποτε.

Ἀγγελώνυμον κλῆσιν, πεπλουτηκὼς Ἅγιε, διὰ τοῦ σεπτοῦ μαρτυρίου, ἀγγέλων σύσκηνος, ἀξίως γέγονας, ἔνθα τῶν σὲ ἀνυμνούντων, πλήρου τὰ αἰτήματα, εὐχαῖς ἁγίαις σου.

Θεοτοκίον

Μὴ ἐλλίπῃς πρεσβεύειν, πρὸς τὸν Θεὸν Ἄνασσα, ὑπὲρ τῶν πιστῶς δοξαζόντων καὶ ἀνυμνούντων σε, ὅπως τὴν ἄφεσιν, παράσχῃ πάντων πταισμάτων, ἅπερ ὡς ἀδύναμοι, ἐξαμαρτάνομεν.

Διάσωσον, τῶν προσβολῶν ἀρχεκάκου, Μιχαὴλ γενναιόφρον τοὺς πόθῳ γεραίροντας, τὴν ἄθλησίν σου τὴν στεῤῥάν, ταῖς εὐχαῖς σου πρὸς τὸν Δεσπότην.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Τὸν κῆπον ψυχῆς, σοφῶς ἐκαλλιέργησας, ἀγάπη Χριστοῦ, ποτίζων τοῦτον Ἅγιε, διὸ πλήρης χάριτος, τὸ μαρτύριον Μιχαὴλ ὑπέμεινας, πρεσβεύων νῦν ὑπὲρ πιστῶν, Νεομαρτύρων τερπνὸν ἐγκαλλώπισμα.

Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Ἄγαρ πλάνην ἐξήλεγξας, Μιχαὴλ γενναίως καὶ συνηρίθμησαι, τῶν Μαρτύρων θείαις τάξεσι, ἔνθα καὶ ἡμᾶς ἐλθεῖν ἀξίωσον.

Ῥωμαλέῳ φρονήματι, πίστιν τὴν ὀρθόδοξον ἀνεκήρυξας, ἧς ἐργάτας δεῖξον Ἅγιε, Μιχαὴλ τοὺς πίστει σε γεραίροντας.

Τῇ σοφίᾳ τοῦ Πνεύματος, Μιχαὴλ ἀπίστων μωρίαν ἤλεγξας, ἧς σοφίας ἡμᾶς ἔμπλησον, ταῖς πρὸς τὸν Δεσπότην ἱκεσίαις σου.

Θεοτοκίον

Ὑπεράγαθε Δέσποινα, σκέπασον τοὺς ὅσοι σε μεγαλύνουσιν, ἐκ βελῶν τοῦ πολεμήτορος, τούτων τὴν πικρίαν ἀφανίζουσα.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Ῥῦσαι πειρασμῶν, Μιχαὴλ τοὺς φιλομάρτυρας, ἐνισχύων ταῖς ἁγίαις σου εὐχαῖς, καὶ τὴν νίκην, κατ' ἐχθρῶν ποικίλων χάρισαι.

Ἵλεων ἡμῖν, τὸν Δεσπότην δεῖξον Ἅγιε, ὅπως παρίδῃ ἁμαρτήματα πολλά, ἅπερ ἀφόβως, καθ' ἑκάστην διαπράττομεν.

Κόσμου τὰ τερπνά, Μιχαὴλ μὴ λογισάμενος, δὸς καὶ ἡμᾶς αὐτὰ καταφρονεῖν, καὶ ὁλοψύχως, ἀγαπᾶν μόνον τὸν Κύριον.

Θεοτοκίον

Ὅταν ὁ Χριστός, μέλλῃ κρίνειν κόσμον ἅπαντα, τότε Πανάμωμε ἱκέτευε Αὐτόν, μὴ ἀποῤῥίψῃ, εἰς τὴν γέεναν τοὺς δούλους σου.

Ὠιδὴ ϛ'. Τὴν δέησιν.

Νεότητα, τῷ Κυρίῳ δέδωκας, ὡς πανεύοσμον θυμίαμα Μάρτυς, ὅθεν ἑστώς, Μιχαὴλ σὺν Ἁγίοις, ἐν Παραδείσῳ τρυφῆς πάντων μνήσθητι, τὴν μνήμην σου τὴν ἱεράν, ἐκτελούντων ἐν ὕμνοις καὶ ᾄσμασι.

Μακάριος, τὸν γλυκὺν Παράδεισον, Μιχαὴλ κληρονομήσας ἐφάνης, οὗπερ ἡμῖν, μετασχεῖν ἀξιώσαις, καθικετεύων Χριστὸν ὡς φιλάδελφος, τὸ ἔσχατον τῶν ἐφετῶν, καὶ Ἁγίων ἁπάντων ἐντρύφημα.

Ἱέρευσας, σεαυτὸν ὡς πρόβατον, Μιχαὴλ καὶ οὐρανοῖς ἀνηρπάγης, βλέπων ἀεί, τηλαυγῶς τὸν Δεσπότην, Οὗπερ

τὸν πόθον ἡμῖν ἐγκατάστησον, τοῦ αἴρειν ἐν ὑπομονῇ, μαρτυρίου σταυρὸν συνειδήσεως.

Θεοτοκίον

Χαρίτωσον, τὰς ψυχὰς τῶν δούλων σου, Θεοτόκε μητρικῇ σου ἀγάπη, ἐν πειρασμοῖς, οὓς ἐχθρὸς ἐξυφαίνει, ἐπιθυμῶν φθονερῶς ἀποσκίρτησιν, Υἱοῦ σου τοῦ ἀγαπητοῦ, Οὗ ποθοῦμεν τὸ πάμφωτον πρόσωπον.

Διάσωσον, τῶν προσβολῶν ἀρχεκάκου, Μιχαὴλ γενναιόφρον τοὺς πόθῳ γεραίροντας, τὴν ἄθλησίν σου τὴν στεῤῥάν, ταῖς εὐχαῖς σου πρὸς τὸν Δεσπότην.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Μιχαὴλ νεομάρτυς πανένδοξε, ὡς ἀρνίον σφαγεὶς ἀναδέδειξαι, κληρονόμος, τοῦ Παραδείσου, βλέπων τὸν Χριστόν, πρὸς Ὃν τὰς δεήσεις τῶν πιστῶν, μεταβίβαζε ἀεί, ὅπως πάντες γενώμεθα, μέτοχοι Βασιλείας, σὺν τοῖς Ἁγίοις πᾶσι, τοῖς πολυτρόπως τὴν ζωήν, κτησαμένοις τὴν αἰώνιον.

Προκείμενον· Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
Στίχος· *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς αὐτοῦ ἐξανθήσει.*

**ΕΥΑΓΓΕΛΙΟΝ**

*Ἐκ τοῦ κατὰ Λουκᾶν*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ἐπιβαλοῦσι γὰρ ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι. Ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ φίλων καὶ θανατώσουσιν ἐξ ὑμῶν καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν, κτήσασθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα Πατρί.*

Ταῖς τοῦ Μάρτυρός σου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Ὅλη τῇ ὑπάρξει σου,

τὸν Ἰησοῦν ἀγαπήσας,
Μιχαὴλ πανένδοξε,
ἐν καιρῷ τῷ δέοντι ὡμολόγησας,
τὴν Αὐτοῦ θεότητα,
καὶ τὴν πλάνην Ἄγαρ,
θείῳ Πνεύματι κινούμενος,
κατεμυκτήρισας καὶ γενναιοψύχως ἀπέπτυσας·
διὸ καὶ ξιφοτέμησαι,
ὡς Κυρίου ἄκακον πρόβατον.
Νῦν δὲ Παραδείσου,
τὸν κῆπον κατοικῶν διηνεκῶς,
μνήσθητι πάντων τῶν ὅσοι σου,
μνήμην ἑορτάζομεν.

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἀγγελώνυμον κλῆσιν, καὶ Ἀγγέλων τὴν δόξαν Μάρτυς ἐπλούτησας· τὴν σάρκα τῷ Κυρίῳ, ἐνέγκας ὡς θυσίαν, ἀφθαρσίαν ἐνδέδυσαι, ἧς κοινωνοὺς καὶ ἡμᾶς, ἀξίωσον εὐχαῖς σου.

Ἡ στερρὰ ἔνστασίς σου καὶ ἡ ἄῤῥηκτος πίστις τεῖχος γεγόνασι, δι’ ὧν ὁμολογήσας, θεότητα Κυρίου, πρὸ ἀπίστων τὴν κάραν σου, ἀποτμηθείς Μιχαὴλ, χορεύεις σὺν Ἁγίοις.

Λόγον ἄλλον μὴ λέγων, εἰ μὴ δοῦλος ὑπάρχω Κυρίου γνήσιος, τὴν θείαν κεφαλήν σου, ἐτμήθης ὡς ἀρνίον, καὶ πιστοὺς πρὸς ἀγάπησιν, τοῦ Ἰησοῦ Μιχαήλ, θαῤῥύνεις σῇ ἀθλήσει.

Θεοτοκίον

Ἡ ἁγία σου κλῆσις, εἰρηνεύει καρδίας ἀνθρώπων Δέσποινα, τῶν ἐπικαλουμένων, ἐξ ὅλης τῆς καρδίας, σὴν μητρῴαν ἀντίληψιν, καὶ ἐκδιώκει ἐσμόν, πνευμάτων ἀκαθάρτων.

## Ὠιδὴ η΄. Τὸν Βασιλέα.

Μνήσθητι Μάρτυς, τῶν ἀσθενείαις κειμένων, καὶ ἐξαίτει τὴν ἴασιν ταχεῖαν, ὅπως ἀνυμνῶσι, τὴν θείαν ἄθλησίν σου.

Ἰσχὺν παράσχου, τοῖς πολλαπλῶς θλιβομένοις, Μιχαὴλ νεομάρτυς ταῖς εὐχαῖς σου, καὶ χαρὰν παράσχου, ἐν ταῖς καρδίαις τούτων.

Νόσον καρκίνου, μάκρυνον Μάρτυς τῶν ὅσοι, ὑποφέρουσι καὶ ἐπιζητοῦσιν, ἄνεσιν τῶν πόνων, δεήσεσί σου θείαις.

## Θεοτοκίον

Δίδου εἰρήνην, παντὶ τῷ κόσμῳ Παρθένε, ἡ τεκοῦσα τὸν πάντων Εἰρηνάρχην, Τούτῳ καθ' ἑκάστην, πρεσβεύουσα ἀπαύστως.

## Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἰδοὺ ὁ θεῖος κῆπος! ὅστις δέδοταί σοι, ἔνθα οὐχὶ Μιχαὴλ κόποι ἔσονται, ἀλλὰ τρυφὴ αἰωνία, καὶ ἀγαλλίασις.

Δουλείας ἀπηλλάγης, Μιχαὴλ τῷ ξίφει, ἐλευθερίαν λαβὼν τὴν χριστόδωρον, διὸ παθῶν τῆς δουλείας, ἡμᾶς ἀπάλλαξον.

Ὁ πρώην ὀνηλάτης, νῦν συμβασιλεύεις, τῷ Ἰησοῦ Μιχαὴλ καὶ αἰτήματα, ἡμῶν Αὐτῷ ἀναφέρεις, λύσιν αἰτούμενος.

Ὑπὲρ τῶν γεραιρόντων, ἄθλησίν σου Μάρτυς, τὸν στεφοδότην Δεσπότην ἱκέτευε, τοὺς πειρασμοὺς διαλύειν, κακίστου δράκοντος.

Θεοτοκίον

Ἀνύμφευτε Παρθένε, σὺν χοροῖς ἁγίων, καὶ Μιχαὴλ τῷ σεπτῷ νεομάρτυρι, τῶν χριστωνύμων αἰτήσεις, Χριστῷ προσάξατε.

*εἶτα τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

καὶ τὰ Μεγαλυνάρια

Χαίροις θεῖον βλάστημα Ἀθηνῶν, Μιχαὴλ γενναῖε, ὁ δουλείας πικρὰ δεσμά, διὰ μαρτυρίου, ὁλοτελῶς συντρίψας, καὶ τῶν Νεομαρτύρων, φανεὶς συνόμιλος.

Κήπους ἐπιγείους καταλιπών, Κήπου Παραδείσου, ἐγεγόνεις νῦν κηπουρός, τὸν Χριστὸν κηρύξας, Θεὸν πρὸ ἀσεβούντων, ὦ Μιχαὴλ καὶ στέφος, λαβὼν τοῦ Μάρτυρος.

Πίστει ἀσαλεύτῳ ἑδραιωθείς, πλάνην τὴν τῆς Ἄγαρ, ἐσκυβάλισας Μιχαήλ, καὶ καταφρονήσας, τὰ τοῦ παρόντος βίου, θυσία ὤφθης ζῶσα, τῷ Παντοκράτορι.

Χαίροις ἀγγελώνυμε Μιχαήλ, ὁ τῷ μαρτυρίῳ, τοῖς ἀγγέλοις ἀριθμηθείς, καὶ νεομαρτύρων αὐξήσας τὴν χορείαν, ἀθλητικῶς τελέσας, τὴν πολιτείαν σου.

Πρέσβευε Κυρίῳ ὦ Μιχαήλ, ὑπὲρ τῶν τιμώντων, ἄθλησίν σου τὴν ἱεράν, ὅπως ἁμαρτίας ἐκφύγωμεν τὸ σκότος, καὶ θείου Παραδείσου, ὀφθῶμεν μέτοχοι.

Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς.
Πάσης γὰρ ἀπολογίας ἀποροῦντες,
ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ
οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν.
Μὴ ὀργισθῇς ἡμῖν σφόδρα,
μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·
ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος
καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.
Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου·

πάντες ἔργα χειρῶν σου
καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν,
εὐλογημένη Θεοτόκε.
Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν·
ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων.
Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*
Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.

Χαίροις νεομάρτυς Μιχαήλ, ὁ Χριστὸν κηρύξας εὐτόλμως, πρὸ ἀσεβούντων Θεόν, καὶ ἀπαρνησάμενος πάντα τοῦ βίου τερπνά, μαρτυρίου μετέσχηκας, διὸ νῦν συγχαίρων, τοῖς Ἁγίοις ἅπασιν, πάντας μνημόνευε, τοὺς ἐπιτελοῦντας ἐν πόθῳ, τὴν ψυχοχαρμόσυνον μνήμην, τῆς γενναιοψύχου σου ἀθλήσεως.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.
Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

*Στίχοι*

*Πλάνην πατήσας, Μιχαήλ, τὴν τῆς Ἄγαρ,*
*Πλάνης πάσης φύλαττε τοὺς σὲ τιμῶντας.*